O J
INTER FOLIA FRVCTVS

LIBRARY OF THE UNIVERSITY OF ILLINOIS

Programm,

womit zu

der öffentlichen Prüfung der Zöglinge

des

Friedrichs-Werderschen Gymnasiums,

welche

Mittwoch den 25. März 1863,

Vormittags von 9, Nachmittags von 2½ Uhr an

in

dem Hörsaale der Anstalt

(Kurstrasse No. 52)

stattfinden wird,

die Beschützer, Gönner und Freunde des Schulwesens und des Gymnasiums

ergebenst einladet

Dr. Karl Eduard Bonnell,

Director und Professor.

Inhalt:

1) Scholien zu Aristoteles Werk „de partibus animalium". Vom Herrn Dr. Langkavel.
2) Schulnachrichten vom Director.

Berlin, 1863.

Gedruckt in der Nauckschen Buchdruckerei.

Programm

zur

öffentlichen Prüfung der Zöglinge

des

Friedrichs-Werderschen Gymnasiums,

welche

Ostern den 28. März 1866

Versetzungen von 3 Abtheilungen von 2½ Uhren

in

dem Examen der Abiturienten

(Montag den 19.)

die Declamationen, Reden und Vorträge des Prüfungstages und des

Abiturientenexamens

(Dienstag den 20.)

Dr. Karl Eduard Bonnell,

Director.

Inhalt:

Berlin. 1866.

Scholien

zu

Aristoteles Werk „de partibus animalium".

Wenn auch unter den zahlreichen theils edirten theils nicht edirten Scholien zu den griechischen und römischen Schriftstellern manche von unbedeutendem und geringerem Werthe für die classische Philologie sind, so ist ihnen doch von andrer Seite her oft manches Interesse abzugewinnen. Die Geschichte der Naturwissenschaften, der Medicin, der Erfindungen erhält aus ihnen oft brauchbare Bausteine. Deshalb gibt auf den nachfolgenden Seiten der Unterzeichnete einen Abdruck der Scholien aus dem berühmten Pariser Codex des Aristoteles (No. 1853. E. Bekk.), die neben einigen bisher unbekannten griechischen Wörtern besonders für die Zoologie und Medicin, einmal auch für die Geschichte der Taucherkunst, zahlreiche nicht zu verachtende Notizen darbieten.

639.a. 1. 7. 8. 9. 13. 14. 21.

Ἐνταῦθα μέθοδον λέγει τὴν τῶν ἐνδεχομένων ποιοῦσαν τὰς ἀποδείξεις[1]. *τὸν τὰς ἀρχὰς ἔχοντα πασῶν τῶν ἐπιστημῶν. τὸν ὅλως πεπαιδευμένον. κατὰ τὸ ὑποκείμενον ἕνα καὶ τὸν αὐτόν· οὐ γὰρ συνδιαιρεῖται ταῖς τῶν πολλῶν ἐπιστημῶν ἀρχαῖς καὶ αὐτὸς ἀλλ' εἰς μένει τῷ ἀριθμῷ. οἷον ἀρχὰς ὡς ἐπὶ τὸ πολὺ θεωρουμένοις*[2]. *ὁ γὰρ ἐπιστήμων καὶ οὐχ ὁ πεπαιδευμένος γινώσκει τἀληθές. τῶν*[3] *καθ' αὐτὸ συμβεβηκότων τὰ μέν εἰσι κοινὰ τοῖς ζῴοις πᾶσιν ὥσπερ τὸ ἀναπνεῖν τοῖς ἔχουσι πνεύμονα καὶ τὸ αὔξειν καὶ φθίνειν καὶ τὰ λοιπά· τὰ δ' ἴδια, ὡς τοῦ ἀνθρώπου τὸ ὄρθιον, τὸ ἔχειν τὸ ἄνω πρὸς τὸ τοῦ ὅλου ἄνω, τὸ ἐψιλῶσθαι τῶν τριχῶν τὰ πολλὰ καὶ τὰ τούτοις ὅμοια· τὰ δὲ τῷ μὲν ὀνόματί εἰσι κοινὰ τῷ δὲ λόγῳ καὶ τῷ ὁρισμῷ ἴδια καὶ διάφορα, ὥσπερ τὸ μὲν πορευτικὸν κοινόν ἐστι τοῖς ζῴοις τῷ ὀνόματι τῷ δὲ λόγῳ διάφορον. τὸ μὲν γὰρ ἐν τοῖς πτηνοῖς πορευτικὸν*

1) cf. Thiel de Zool. Arist. libr. ord. ac distribut. p. 49. Sonnenburg Zool.-krit. Bemerk. zu Arist. Thiergesch. p. 3. Brandis Arist. u. seine acad. Zeitgenossen p. 1223. Bonitz Met. II, 58. 2) cf. Thiel. l. c. p. 16. 46. Waitz Arist. Organon I, 370. 3) Vgl. Brentano, von d. mannigf. Bed. des Seienden p. 6 fg.

πτῆσίς ἐστί τε καὶ λέγεται, τὸ δ' ἐν τοῖς πεζοῖς χερσαίοις βάδισις, τὸ δ' ἐν τοῖς θαλαττίοις οἷον τοῖς ἰχθῦσι νεῦσις, ὅπερ ἐκ τοῦ νέω παρήχθη ὃ ἐστι πλέω· τὸ δ' αὖ γε ἐν τοῖς
22. ἑρπετοῖς πορευτικὸν ἕρψις καλεῖται. οἷον ἐγρήγορσις βραχυβιότης μακροβιότης καὶ τὰ ὅμοια· ὧν ἡ βραχυβιότης μὲν καὶ ἡ μακροβιότης καὶ τὰ τοιαῦτα πάθη ἂν εἶεν, ἡ
22. δὲ ἐγρήγορσις καὶ ὁ ὕπνος διαθέσεις. μέχρι γὰρ τοῦ νῦν οὐδεὶς τῶν παλαιῶν περὶ
639, b, 5. τούτων διῆλθε[4]). πρῶτον δηλαδὴ περὶ τῶν ἰδίων ἑκάστῳ. ὅτι γὰρ οὐ χρὴ περὶ τῶν κοινῇ πᾶσι προσόντων ἰδίων ἐφ' ἑνὶ ἑκάστῳ διαλαμβάνειν, ἀνωτέρω εἶπε· νῦν δ' ὅτι
7. περὶ τῶν κοινῇ προσόντων χρὴ πρότερον λέγειν φησίν[5]). ὁ γὰρ μαθηματικὸς πρότερον ὁρᾷ τὴν σελήνην πολλάκις ἐκλείπουσαν, εἶθ' οὕτω καὶ τὴν αἰτίαν ζητεῖ τῆς
11. ἐκλείψεως[6]). τεττάρων ὄντων τῶν αἰτίων, ὑλικοῦ εἰδικοῦ τελικοῦ ποιητικοῦ, καὶ τοῦ τελεκοῦ συντρέχοντος ἐπὶ τῶν φυσικῶν καὶ ὄντος ταὐτοῦ, ἐξ ὧν νῦν ὁ Ἀριστοτέλης φησί, πρότερον ἀξιοῖ περὶ τοῦ τελικοῦ αἰτίου, ὡς εἴδους καὶ λόγον καὶ τάξιν ἐπέχοντος, διαλαβεῖν[7]). καὶ γὰρ καὶ ἡ φύσις πρὸς τὸ ἀποτελέσαι ἀνθρώπειον φέρε εἰπεῖν εἶδος ἀφορῶσα πάντα τὰ πρὸς ἐκεῖνο ἄγοντα διὰ τὸ αὐτοῦ τούτου τέλος ἀποτελεῖ. συνιστᾷ μὲν γὰρ πρότερον τὴν καρδίαν[8]) καὶ τὸ ἧπαρ καὶ τῶν λοιπῶν σπλάγχνων τὰ καιριώτερα· εἶτα τὰ δεκτικὰ τῶν αἱμάτων ἀγγεῖα, τὰς φλέβας, δι' ὧν τὰ σύμπαντα ἐμβρύῳ, ὡς διά τινος ἀμάρας, τὴν τροφὴν δηλαδὴ τὸ αἷμα ὀχετηγεῖ· καὶ τελευταῖον τὰ χονδρώδη καὶ ὀστώδη τῶν μορίων. καὶ ταῦτα πάντα πρὸς τὸ ἀποτελέσαι ζῷον ἀφορῶσα ποιεῖ. ἀλλὰ καὶ ὁ τεχνίτης, οἷον ὁ ἰατρὸς ἢ ὁ οἰκοδόμος[9]) φέρε, ποιεῖ τι ὁρισάμενος τὴν ὑγείαν ἢ τὴν οἰκίαν. ὁ μὲν ἰατρός, εἰ τόνδε τινὰ τὸν εὔκρατον καὶ ὑγιεινόν, ὡς ἐν τῷ πρώτῳ τοῦ (τῶν) περὶ κράσεων ὁ Γαληνός[10]) φησιν, ὑποθείη, καὶ πρὸς ἐκεῖνον ἀποβλέπων καὶ ἐν ἄλλῳ τινὶ σπεύδει τοιάνδε ὑγείαν[11]) ἀποτελέσαι. ταῦτα εἰπὼν φησιν ὡς οὐ πᾶσι τοῖς φυσικοῖς πράγμασιν ὁμοίως ἡ ἀνάγκη ἐστί. διάφορα δὲ τὰ τῆς ἀνάγκης[12]) εἰσὶ σημαινόμενα. ἀνάγκη λέγεται καὶ ἡ βία· ὥσπερ φαμὲν ἀνάγκῃ τὸν λίθον φέρεσθαι ἄνω. λέγεται ἀνάγκη καὶ ἡ ὕλη· καὶ αὕτη διττή. ἡ μὲν ἐξ ὑποθέσεως, ἣ οὐδὲ ἀντιστρέφει· ἡ ἐπὶ τῶν ἐν γενέσει καὶ φθορᾷ καὶ τῶν τεχναστῶν ἄλλως παραλαμβανομένη. οἷον εἰ ἔστιν ἄνθρωπος, ἔνεισιν αὐτῷ καὶ φλέβες καὶ ἀρτηρίαι καὶ ὀστᾶ καὶ σάρκες καὶ χόνδροι· οὐ μὴν εἰ ταῦτα, ἄνθρωπος. Καὶ εἰ ἔστιν οἰκία, ἐνεισι ταύτῃ καὶ λίθοι καὶ ξύλα καὶ τὰ ἐξ ὧν ἁπλῶς ἡ οἰκία· οὐ μὴν εἰ ταῦτα, ἤδη καὶ οἰκία. ἡ μὲν οὖν ἐστιν, ὥσπερ ἐλέγομεν, ἡ ἐξ ὑποθέσεως. ἡ δὲ ἡ ἀπολύτως καὶ ἁπλῶς λεγομένη, ἡ ἐπὶ τῶν ἀιδίων λαμβανομένη, ἥ τις καὶ ἀντιστρέφει. Οἷον εἰ ὁ ἥλιος ἔστιν ἐν κριῷ, ἔαρος ἀρχή, καὶ ἀνάπαλιν.

---

4) eine vom Schol. etwas abweichende Erklärung von *ἀδιόριστον* giebt Waitz. l. l. I, 383. Die dort gegebene Definition: quod certis finibus non circumscriptum est genügt auch für 686, a, 1, für die von Wimmer und Aubert im Index zu de generat. anim. citirten Stellen und für die dort ausgelassenen 741, b, 33. 756, a, 29. 5) Vgl. Brandis 691. 58; 697 71; 1224. 350. 6) cf. Ideler Meteor. I 201 u. 641. Schol. 348. a. u. b. 529. a. 7) cf. Schol. in Arist. ed. Acad. p. 350. a; 354, b; 689, b; 531, b; 532, a; 353, b; 246, a; 610, a; 775, b. Philop. Schol. *φυσ. ἀκροασ.* ed. Ven. 1535 p. 120. 131. Bonitz Metaphys. II, 221 fg. 59 fg. Zeller Philos II, 409 fg. Waitz II, 401 fg. Schwegler III, 26—28. Brandis 710 fg. Thiel 30 u. 45. 8) Galen de foet. form. c. 4. p. 674 k. Brandis 1262. Philippson *ὕλη ἀνθρ.* p. 24. 9) Schol. 349, b. Torstrik de anima p. 116. 10) Galen. ed. K. T. I 510. 519. 523. 534. 535. 11) Ideler Meteor. Arist. I, 638. Lobeck Proleg. Path. 234. Path. 279. Paralip. 28. Phryn. 493. 12) Schol. 695; 355, b; 356. a; 229, b. Zeller II, 424. Schopenhauer Wille in d. Nat. 51. Waitz II, 358 fg. Schwegler III, 202. Bonitz II, 232. Brandis 712. 715.

ἀνάγκη λέγεται καὶ ἡ ἀπόδειξις, ὥσπερ φαμὲν γεωμετρικαῖς ἀνάγκαις πεπεῖσθαι. τοῦτο τὸ σημαινόμενον καὶ ὁ φιλόσοφος διιστῶν τῶν λοιπῶν καὶ οἷον ἐπισημαινόμενος λέγει. ἀλλ' ὁ τρόπος τῆς ἀποδείξεως καὶ τῆς ἀνάγκης ἕτερος. τοῦτο λέγων 640, a, 1.
διὰ τοῦ δυνάμει· ὅτι ἄλλο τὸ σημαινόμενον τῆς ἀνάγκης τὸ ἐπὶ τῶν θεωρητικῶν ἤγουν τῶν λογικῶν ἐπιστημῶν λαμβανόμενον, καὶ ἄλλο τὸ ἐπὶ τῶν φυσικῶν. ἐπὶ μὲν γὰρ τῶν φυσικῶν, ὡς εἴπομεν, τῆς ὕλης ὑποκειμένης οὐκ ἤδη ἕπεται καὶ τὸ εἶδος· εἴδους δὲ καὶ τέλους ὄντος, ἔστιν ἐξ ἀνάγκης καὶ ὕλη ἐπὶ δέ γε τῶν περὶ θεωρίαν ἤτοι γνῶσιν καταγινομένων λογικῶν ἐπιστημῶν ἔμπαλιν ἔχει. ἔστι γὰρ καὶ ἐν ταύταις ὕλη μὲν ἀνάλογον αἱ προτάσεις, εἶδει δὲ καὶ τέλει τὰ συμπεράσματα. ἐπεὶ οὖν τῶν μὲν προτάσεων οὐσῶν ἀληθῶν, ἔστιν ἀληθὲς ἐξ ἀνάγκης καὶ τὸ συμπέρασμα[13]· τοῦ δὲ συμπεράσματος ἀληθοῦς ὄντος, οὐκ ἤδη καὶ αἱ προτάσεις εἰσὶν ἀληθεῖς. καὶ ἐκ ψευδῶν γὰρ προτάσεων συμπέρασμα συνίσταται, ἠκριβολόγηται δὲ περὶ τούτων ἔν τε τῷ δευτέρῳ τῶν προτέρων[14] βιβλίῳ καὶ ἐν τῷ δευτέρῳ τῆς ἀποδεικτικῆς[15], καὶ τὴν αἰτίαν τοῦ ἕτερον εἶναι τῆς ἀποδεικτικῆς καὶ τῆς φυσικῆς ἀνάγκης τὸν τρόπον αὐτὸς ἐπιφέρει. αἱ μὲν γὰρ ἀποδεικτικαὶ ἐπιστῆμαι περὶ τὸ κυρίως ὂν τὸ ἀληθὲς δηλαδὴ καταγίνονται, καὶ τοιαῦτα ἔχουσι σημαινόμενα, καὶ ὕλην καὶ εἶδος· αἱ δέ γε φυσικαὶ περὶ τὸ ἐσόμενον ὅπως πολλάκις μὲν οὕτω πολλάκις δὲ ἄλλως ἔχουσιν, ἐπεὶ γὰρ περὶ τὸ ὡς ἐπὶ τὸ πολὺ ἡ φύσις ἠσχόληται. τὸ δὲ ὡς ἐπὶ τὸ πολὺ μέρος τοῦ ἐνδεχομένου. τριττὸν γὰρ τὸ ἐνδεχόμενον, ὡς ἐπὶ τὸ πολύ, ὡς ἐπ' ἴσης, ὡς ἐπ' ἔλαττον. τὸ ἐνδεχόμενον ποτὲ μὲν γίνεται ποτὲ δ' οὔ. εἰκότως καὶ ἡ φυσικὴ ὕλη, ὡς ἐνδεχομένη οὖσα, οὔκουν ἑαυτῇ τὸ τέλος ἀεὶ περὶ τούτων. ὁ γὰρ ἰατρὸς οὕτω λέγει, ὅτι ὁμολογουμένως τῆς ὑγείας ἐν συμ- 3.
μετρίᾳ τῶν τεσσάρων χυμῶν[16] οὔσης ἀνάγκη τόδε γενέσθαι. ὁ δὲ τέκτων ὧδε, ὅτι τῆς οἰκίας μελλούσης ἐκ τοιῶνδε ξύλων περατωθῆναι[17] καὶ κάρφων καὶ λίθων καὶ τῶν ἑτέρων, καὶ τὴν ὕλην δεῖ τοιάνδε παρασκευασθῆναι. οὐ δυνατόν ἐστιν ἀντι- 6.
στρέψαι τὴν φυσικὴν καὶ τεχνικὴν ἀνάγκην τὴν ἐξ ὑποθέσεως λεγομένην, ὥσπερ τὴν ἁπλῶς καὶ κυρίως[18] τὴν ἐπὶ τῶν ἀιδίων. πρότερον γὰρ ἡ τῆς οἰκίας. τυχὸν 18.
σκοπεῖται γένεσις, εἶτα τὸ ὅτι τοιᾶσδε ὕλης δεῖται[19]. ἐνταῦθα ὁ Ἀριστοτέλης κα- 19.
κίζει τοὺς μὴ ἕνεκά του[20] λέγοντας πάντα ἐν τῷ ζῴῳ γενέσθαι μόρια ἀλλὰ κατὰ συμβεβηκὸς[21] καὶ ὡς ἔτυχεν. οἱ αὐτοὶ γὰρ καὶ τὰ μὴ καθ' αὑτὸ[22] τῶν καθ' αὑτὸ αἰτίων ποιοῦσιν αἴτια, καὶ Ἐμπεδοκλῆς[23] τῆς γενέσεως λέγων εἵνεκα τὴν οὐσίαν εἶναι οὐχὶ τῆς οὐσίας μᾶλλον τὴν γένεσιν. οἷον φέρε εἰπεῖν ξηρασία τῷ 29.

13) Schol. 187. 14) Philop. in Schol. 38, b, 3. Waitz I, 366. Brandis 98. 153. 220. 15) Schol. 145, a, 27; 143, b, 43. Waitz II, 293. 16) Vgl. die Erklärung bei Gal. B. XI, 449—50; XVI, 23; XIX, 457. Etym. Orion. in v. Coray ad Gal. al. fac. ad calc. Xenocr. p. 216. 17) Lobeck Phryn. 745 fg. 18) Schol. 246, b, 13. 19) cf. 639, b, 19 (Brandis 1224); 639, b, 21 (Brandis 708); 639, b, 27 (Brandis 710); 200, a, 8: 94, b, 97; Waitz I, 283; Brandis 1101. 1225. 20) Schol. 246, b; 349, b; Themist. ad Ar. de an. f. 76, b; Philop. ad Ar. Phys. p. 78 fin. Trendelenburg de an. 355. Waitz 2, 407. Zeller 2, 410. Bonitz 2, 499. 21) Schol. 175, a; 332, b; 352, a; 700, a; Philop. p. 29, fin. 76 med. Trendelenburg 188. Waitz 1, 268. 442. Zeller 2, 421. Schwegler 3, 242. Bonitz 2, 41. 101. 22) Schol. 203; 409, a; 742, a; 746, a. Trendelenburg Kat. p. 59. Waitz I, 295. 467. Schwegler 3, 211. Bonitz 2, 265. 304. 23) bei Brandis p. 1300, 551 sind noch folgende Stellen ausgelassen: 314, 11; 404, b, 11; 408, 17; 410, 3, 28, b, 4; 415, b, 28; 418, b, 20; 427, 20; 430, 28; 437, 6, 11. 25; 441, 6; 446, 26; 4.3, 15; 731, 5. — aus andern Büchern: 477, 32. b, 13; 478, 8; 482, 29; 484, 38; 485, b, 26; 815, 16. b, 16; 817, 1. 10 36. b, 35; 910, 15; 929, b, 16; 937, 15. u. a.

γέγονεν περὶ τὴν κεφαλήν· τῶν ἐκ τῶν βρωμάτων λιγνυωδῶν ἀτμῶν οὐ κατὰ φύσιν διατμισθέντων, κεφαλαλγία ἐντεῦθεν αὐτῷ ἐπῆλθε καὶ πυρετὸς λάβρος. νοσήσας ἐσχάτως ὁ ἄνθρωπος τὴν κόμην τὴν ἑαυτοῦ ἀπεκείρατο καὶ, διαπνοίας οὕτω γενο-
30. μένης, ὑγεία αὐτῷ περιγέγονεν. σημείωσαι ὡς ἡ ἀνδριαντοποιητικὴ τέχνη ἄυλος
31. ἀνδριάς ἐστιν[24]). ὁ γὰρ τῆς οἰκίας λόγος ὁ ἐν τῷ οἰκοδόμῳ οὐδέν τι ἄλλο ἢ αὐτὴ
b, 4. ἡ οἰκία χωρὶς λίθων καὶ ξύλων. σημείωσαι ὡς οἱ ἀρχαῖοι πάντες τὸ ὑλικὸν αἴτιον
13. τῶν ἄλλων προετίμων[25]). τὸ μὲν ὕδωρ βαρὺ ὂν καὶ καιωφερές[26]), ἐπὶ τὰ κάτω χωρῆσαν, τὸν τῆς κοιλίας τόπον τῇ κοιλάνσει εἰργάσατο· ὁ δέ γε ἀὴρ κοῦφος ὢν καὶ ἀνωφερὴς τοὺς μυκιῆρας ἀπέσχισε. δυνάμεις γὰρ τήν τε βαρύτητα καὶ κου-
34. φότητα καὶ τὰ τοιαῦτα καλεῖ[27]). ὥστ᾽ οὐ ταῦτα, ἀλλ᾽ αἰσθητικὸν καὶ ποιητικὸν
35. ψυχή ἐστιν ἡ τὸ ζῷον εἰδοποιοῦσα, ὡς ἐρεῖ προϊὼν[28]). δεύτερον ἐπιχείρημα τοῦτο τὸν Δημοκρίτου λόγον ἀνασκευάζον. ἔδοξε δέ τισι ταὐτὸ εἶναι τῷ πρὸ αὐτοῦ. οὐκ ἔστι δὲ ἀλλὰ διαφέρει, παρ᾽ ὅσον ἐν ἐκείνῳ μὲν ἀπὸ τοῦ ὅλου ἡ ἐπιχείρησις ἦν, ἐν τούτῳ δὲ ἀπὸ τοῦ μέρους, καὶ παρ᾽ ὅσον ἐκεῖ μὲν τὸ ἐπιχείρημα ἦν ἐκ τοῦ ἔχοντος τὴν εἰδητικὴν (εἰδικὴν) ἕξιν εἶτα ἀποβάλλοντος, ἐνταῦθα δὲ ἐκ τοῦ ἐν στε-
ρήσει πάντα ὄντος καὶ μὴ πεφυκότος τὸ τοιοῦτον ὅλον δέξασθαι εἶδος. ἔστι δὲ τὸ λεγόμενον, ὅτι ἀδύνατον τὴν σχῆμα μόνον χεῖρα ἔχουσαν, χαλκῆν δὲ ἢ λιθίνην οὖσαν, χεῖρα εἶναι καὶ λέγεσθαι κυρίως· ἀλλὰ μὴν ἡ αὐτὴ κατὰ τὸν Δημόκριτον
641, 5. χεὶρ κυρίως ἐστί, χρῶμα γὰρ ἔχει καὶ σχῆμα χειρός[29]). ἀντὶ τοῦ ἀνεπισκέπτως
14. καὶ ἀνεξετάστως καὶ εὐήθως. οἷον ὅπως μὲν λεῖον τὸν σκέπαρνον ἐκίνησε τοιωσδί,
18. ὅπως δὲ κυρτὸν ἢ κοῖλον τοιῶσδε[30]). τὸ γὰρ εἶδος ποιητικὸν καὶ μορφωτικὸν τοῦ ἀνθρώπου· εἰ καὶ μὴ πᾶσα ἡ ψυχὴ ἔστιν, ἥ τε ἄλογος καὶ ἡ λογική, ἀλλ᾽ οὖν πως ἡ ἄλογος μόνη, οἷον ἡ αἰσθητικὴ καὶ κινητικὴ τοῦ ὀργάνου. αὐτῆς γὰρ ἐξελθούσης οὐκέτι κυρίως ἄνθρωπος λέγεται, τὸ δὲ „ἢ μὴ ἄνευ ψυχῆς“ δι᾽ ἄλογα εἶπεν, τὰ μόνῃ τῇ αἰσθητικῇ ἢ πρὸς ταύτῃ τῇ κινητικῇ χρώμενα, ἐπὶ τούτων γὰρ οὐ μέρος
21. ἐστὶ ψυχῆς τὸ εἶδος ἀλλ᾽ ὅλη αὐτή[31]). ὡς ἡ Νιόβη. καὶ γὰρ αὕτη ἀπολιθωθεῖσα τῷ σχήματι μόνῳ ἔμεινεν ἄνθρωπος, οὐ μὴν καὶ τῇ εἰδητικῇ καὶ τῇ κινητικῇ τοῦ
24. αὐτοῦ σώματος ὀργάνου ψυχῇ. συμβήσεται ἂν εἶναι τῇ ἀλόγῳ ψυχῇ τὸ κινεῖσθαι καὶ τἄλλα, ὅσα καθ᾽ αὐτὸ τῷ σώματι ἐνυπάρχει, ἐκ ταύτης τῆς ἀλόγου ψυχῆς
31 33. αὐτῷ ἐνδιδόμενα. τὴν ψυχὴν τὴν εἰδοποιητικήν. ἔοικε μηδεμίᾳ ἀνακύπτειν ἀπορία ἐκ τῶν λεχθέντων· καὶ γὰρ περὶ μέρους ψυχῆς τὸν φυσικόν, ὡς εἶπε, διαλαμβάνειν ἐνδέχεται, ἕπεται καὶ τὸν θεολόγον διεξιέναι περὶ τοῦ λοιποῦ. ἀλλ᾽ ἐπεὶ ἀδιορίστως εἴρηκε τοῦτό καὶ οὐχ ὡρισμένως, περὶ ποίου ψυχῆς μέρους τὸν φυσικὸν χρὴ ἐπεξιέναι, ἐπεσημήνατο ἐντεῦθεν, προσδιοριζόμενος τοῦτο, τὴν ἐπανακύψασαν τοῖς ῥηθεῖσιν
641, b, 2. ἀπορίαν καὶ ἐπιλύεται. ἐπ᾽ ἐνίων ταὐτό ἐστιν ὁ νοῦς καὶ τὸ νοητόν, ὡς ἐν τοῖς

---

24) Schol. 350, b. 757, b. Ar. de gen. et int. 322, 28. Lobeck Phryn. 729. 25) Schol. 528, b; 532, b, 16 ff. οἱ μὲν οὖν πρῶτοι φ. πάντες ὑλικὰς ἀρχὰς μόνας ὑπέθεντο. Bonitz 2, 51. Brandis 1225, 355. Titze de part. p. 84. 26) Lobeck Phryn. 439. Usener Alex. Aphr. probl. 1850. 5, 12. 27) cf Aelian h. a. 16. 19. Stein Empedocl. frag. p. 64. Sprengel Versuch einer pragm. Gesch d. Arz. I, 177. Plut. de phys. phil. decr. V, 19 p. 120. 28) Schol 757, a. 29) cf. Meyer Ar. Thierkunde p. 331. 30) l 9 hat S. U. τρύπανον ἢ σκέπαρνον. l. 14 τοιονδί P, τοιὸν δὴ E. U. vgl. Torstrik de anima p. 135. 31) cf. Schol. 735, a Arist. Polit. 1334, b, 17. Eth. Nic. 1102, 26. Magn. Mor. 1196, b, 14.

περὶ ἀνθρώπου εἴρηται[32]). τῆς μετὰ συναισθήσεως δηλονότι γινομένης ἀλλοιώσεως 6.
καὶ μὴ ἄνευ αἰσθήσεως ὡς ἐπὶ τοῖς ξύλοις καὶ λίθοις ἤ τισιν ἀψύχοις γινομένης,
κατά τε θερμότητα καὶ ψύξιν καὶ τοιαύτην ἄλλην τινὰ μεταβολήν. ἀλλ᾽ εἰ καὶ νοῦς 8.
ἀμυδρός, ὡς ἐν τοῖς περὶ ψυχῆς εἴρηται[33]). τῆς φύσεως[34]) ὡς ἀνωτέρω εἴρηται διχῶς 9.
λεγομένης. καὶ τὸ εἶδος γὰρ καὶ ἡ ὕλη φύσις λέγεται. ἐνταῦθα φύσιν τὸ ἄλογον τῆς
ψυχῆς ὀνομάζει μέρος ὡς εἶδος. αὕτη γὰρ ἡ ἄλογος ψυχή ἐστιν ὡς εἴρηται ἡ τὸ
σῶμα εἰδοποιοῦσά τε καὶ μορφοῦσα. „μόριον“ δὲ τῆς ψυχῆς „ἓν ἢ καὶ πλείω“ τὴν
ἄλογον ταύτην λέγει ψυχήν, αὕτη γὰρ ὡς μὲν ἄλογος θεωρουμένη μονοειδής ἐστι καὶ
μία, ὡς δὲ μέρη πλείονα ἔχουσα, τὸ αἰσθητικὸν τὸ θρεπτικὸν τὸ αὐξητικὸν τὸ ὀρεκτικὸν
πλείω λέγει[35]). ὥσπερ ἡ τέχνη τὴν ὕλην κινεῖ χάριν τοῦ τόδε ἢ τόδε δέξασθαι τὸ εἶδος, 13.
οὕτω καὶ ἡ ψυχή, εἴπερ τις φύσις ἔστιν, ὡς εἴπομεν, εἰδοποιεῖ καὶ κινεῖ τὸ ἐν ᾧ ἐστι
ζῷον. ταὐτὸν δὲ τὴν ψυχὴν ἐκ τῶν οὐρανίων σωμάτων καὶ τοῦ παντός, ὡς αὐτός
φησιν, ἔχομεν ἐπεισπίπτουσαν τῷ ἡμετέρῳ σώματι, καθάπερ καὶ τὸ ἐν τοῖς σώμασιν
αὐτοῖς θερμὸν καὶ ψυχρὸν ἐκ τῶν τεσσάρων στοιχείων[36]). πρὸς τοὺς περὶ Δημό- 16.
κριτον διὰ τούτων ἀποτείνεται ὁ φιλόσοφος, ὃς πολλοὺς κόσμους δοξάζων διὰ τὸ
προϋποτιθέναι ἄπειρον τὸ ἐν τῷ παντὶ κενὸν εἶναι ἐκ ταὐτομάτου καὶ τύχης ἔλεγε
γίνεσθαι, τὰ δὲ κατὰ μέρος ζῷα καὶ ἀνθρώπους φύσει καὶ ὑπὸ φύσεως γίνεσθαι.
καίτοι γε μᾶλλον φησὶ τὰ καθ᾽ ἡμᾶς ἐκ ταὐτομάτου γινόμενα φαίνεται, τὰ δὲ οὐ-
ράνια τεταγμένως καὶ ὡρισμένως καὶ ὡσαύτως ἀεὶ γίνεσθαι εἰώθεν[37]). ἐντεῦθεν 24.
βούλεται εὐφυῶς πως καὶ τεχνικῶς καὶ ἐπὶ τὸν περὶ τῶν λοιπῶν αἰτίων λόγον
εἰσβαλεῖν. καὶ πρῶτον τέως περὶ τοῦ ποιητικοῦ, ὃ καὶ αὐτὸ τοῖς εἰρημένοις ταὐτόν
ἐστι τῷ λόγῳ τε καὶ τῇ τιμιότητι. τοιοῦτον γὰρ τὸ γεννηθὲν οἷον καὶ τὸ γεννῆσαν
φιλοσοφεῖ. πλὴν οὐκ ἀθρόως οὐδ᾽ ἐντεῦθεν εἰς τὸν περὶ τοῦ ποιητικοῦ αἰτίου
λόγον χωρεῖ, ἀλλὰ πρῶτον τὴν περὶ τοῦ εἰδικοῦ καὶ τελικοῦ διδασκαλίαν αὖθις
ἐπαναλαμβάνει, καὶ οὕτω κατὰ μικρὸν καὶ τὰ λοιπὰ αἴτια, τὸ ποιητικὸν καὶ ὑλι-
κόν, ἐπιφέρει τὸ αὐτὸ παράδειγμα ἐπὶ τῶν τεσσάρων αἰτίων τιθείς. τὸ σπέρμα
μὲν γὰρ ὑλικοῦ αἰτίου λόγον ἐπέχει, ὁ δ᾽ ἐκ τοῦ σπέρματος γεγονώς, οἷον φέρε
εἰπεῖν ὁ Σωκράτης, τελικοῦ τε καὶ εἰδικοῦ, ὁ δὲ Σωφρονίσκος, ἐξ οὗ τὸ σπέρμα,
ποιητικοῦ. λέγει δὲ τὸ μὲν σπέρμα, τὸ ὑλικὸν αἴτιον δηλαδή, πρότερον εἶναι τῷ
χρόνῳ τοῦ ἐξ αὐτοῦ γεγονότος, οἷον τοῦ σώματος, ὅ ἐστι τέλος καὶ εἶδος, τὸν δὲ
Σωκράτην ἔμπαλιν φύσει καὶ τιμιότητι τοῦ σπέρματος πρότερον, ἀμφοτέρων δὲ
τούτων ἔτι πρότερον τὸν Σωφρονίσκον· ποιητικὸν γάρ ἐστιν αἴτιον. ταῦτα εἰπὼν
συμπεραίνεται δύο εἶναι τὰ αἴτια, τό τε ὑλικὸν καὶ τὸ τελικόν, ᾧ τὸ εἰδικόν τε
καὶ τὸ ποιητικὸν συντρέχουσιν, ὡς εἴπομεν ἐπὶ τῶν φυσικῶν[38]). ἐντεῦθεν ἀνακε- 624, 1.
φαλαιοῦται τὸν οἰκεῖον λόγον, ὅτι διττὸν τὸ ἀκαγκαῖον, τὸ μὲν ἁπλῶς ἐν τοῖς

---

32) cf. Anonymus bei Menage 66 *περὶ ἀνθρώπου φύσεως*. Brandis p. 91. Zeller 2te Aufl. II, 2, 71. Rose de Ar. libr. ord. p. 48 fg. cf. Torstrik de anima p. 112. 33) de anima 3, 10 cf. 686, a, 30. 34) Bonitz Aristotelische Studien S. 6 fg. 16 fg. 35) cf. Thiel 35. Bonitz 2, 284. Schwegler 4, 13. Zeller 2, 496. Frantzius 267, 6. 36) cf. excerpt. ex Com. Alex. et Olymp. ap. Ideler 2, 169 — 171. commentar. p. 355. Brandis 1204. 1226. Usener Alex. Aphr. probl. Progr. 4, 24 fg. 37) cf. Phys. 2. 6 und Philop. dazu p. 113. 114. Waitz, 2, 372. Brandis 674. Bonitz Aristot. Studien 28. 38) Schol. 349, b; 350, b; 609; 805, b; Themist. ad Ar. de an. f. 76, b; Philop. p. 94. Titze 92. Waitz 2, 402. Schwegl. 4, 261. Bonitz 2, 499. Brandis 421. 423. 533. 1227. Rose 227. 228.

20. ἀιδίοις, τὸ δ' ἐξ ὑποθέσεως καὶ τοῖς ἐν γενέσει πᾶσιν[39]). σημείωσαι ὡς ὁ Ἐμπεδοκλῆς ἄκων τῷ εἰδικῷ αἰτίῳ συνέτυχεν. σημείωσαι ἰὸν Ἐμπεδοκλέα[40]) τὴν κρᾶσιν
τῶν τεττάρων ψυχὴν λέγοντα ἢ ψυχῆς μέρος, ᾧ καὶ αὐτὸς Ἀριστοτέλης σχεδόν
πως ἕπεται καὶ Ἱπποκράτης καὶ Γαληνὸς καὶ Ἀλέξανδρος ὁ Ἀφροδισιεύς. τὸν λόγον
γὰρ τῆς μίξεως ἔφασκε τῶν τεττάρων στοιχείων εἶναι ἕκαστον τῶν ζῴων μορίων.
29. ὁρισμὸς δηλαδή, πλὴν οὐχ ὁ περὶ πράγματα φυσικά, ἀλλὰ περὶ ἠθικὰς καὶ πολι-
34. 35. τικὰς στρεφόμενος ἀρετάς[41]). ἤγουν πνεύμονα, τραχεῖαν ἀρτηρίαν. νῦν πρὸς
Πλάτωνα[42]) ἀποτείνεται τὴν διαιρετικὴν αὐτοῦ μέθοδον ἀνατρέπων καὶ ἐλέγχων
ὡς ἐρεσχελεῖν ἀναγκάζουσαν τοὺς ταύτῃ χρωμένους καὶ τῆς στερήσεως εἴδη ποιεῖν.
καὶ γάρ φησιν, ὥσπερ ὁ ζῷον τὸν Σωκράτην εἰπὼν δεδήλωκεν αὐτὸν καὶ οὐσίαν
καὶ σῶμα καὶ ἔμψυχον εἶναι, οὕτω καὶ ὁ ἐπιστήμης δεκτικὸν εἰπὼν τὸν Σωκράτην
ἐμήνυσε καὶ λογικὸν αὐτὸν εἶναι καὶ θνητόν, καὶ μάτην ἂν εἴη λοιπὸν διαιρετικῇ
χρώμενος πρὸς τὸ ὁρίσασθαι ταύτῃ προσμένων, εἴ γε ἐρεσχελεῖν ὑπ' αὐτῆς ἀναγκά-
612,b,6.10. ζεται ἀεὶ διχοτομῶν. λαβεῖν τὸ εἰδικώτατον. εἶδος εἰδικώτατον καὶ τιθέναι τὸ αὐτὸ
13. 18. καὶ ἓν εἶδος ἐν ταῖς ἐναντίαις διαφοραῖς. τῷ ἀερίῳ[43]). ὁ τῇ διαιρετικῇ ἐπιστήμῃ[44])
χρώμενος οὐχ ἅπαν τὸ γένος εἰς ἓν τῶν ἀντικειμένων τίθησι διὰ τῆς διχοτομίας, τὸ
δὲ ἕτερον εἰς τὸ ἕτερον τῶν ἀντικειμένων ἀλλὰ τὸ αὐτὸ εἰς τὰ δύο τὰ ἀντιδιαιρεθέντα
ἀνάγει· ὅπερ ἄτοπον, οἷον τὸν ὄρνιν εἰς τὸ πτηνὸν καὶ τὸ ἔνυδρον[45]). τοῦ γὰρ ὄρνιθος
τὸ μὲν πλωτὸν[46]) ὡς λάρος, τὸ δὲ πτηνὸν ὡς ἀετός. τὸ ζῷον διαιρῶν εἰς πεζὸν καὶ
πτηνὸν εἰς ἀμφότερα ταῦτα ἀνάγει τὸν μύρμηκα· ὅπερ ἄτοπον, οὐ μὴν ἀλλὰ καὶ ἐπὶ
τῶν ἀνωνύμων διαιρέσεων καὶ πρός τι δοκουσῶν λέγεσθαι, οἷον τοῦ ἐναίμου καὶ
ἀναίμου. τὸ γὰρ ἔναιμον τὸ ἐν τῷ ἀνθρώπῳ καὶ ἵππῳ οὐ ταὐτόν, εἰ καὶ ἀμφοῖν ἐστιν.
30. ὁμοίως οὐδὲ τὸ ἄναιμον καὶ σφηκὶ καὶ μυίᾳ, εἰ καὶ ἀμφότερα ἄναιμα. ἄλλο ἐπι-
χείρημα τοῦτο δεικνῦον, ὡς καὶ ταῖς καθ' ἕξιν διαφοραῖς ἑπόμενόν ἐστιν ἄτοπον.
οὐ γὰρ μιᾷ καὶ τῇ αὐτῇ διαφορᾷ τὸ ὅλον εἶδος ἐπ' ἐνίων συμβαίνειν ἀνάγκη γε-
νέσθαι, οἷον ἐπὶ τῶν μυρμήκων οἱ μέν εἰσι πτερωτοί, οἱ δὲ ἄπτεροι. οἱ βραχύ-
τεροι. οὐ πᾶν τὸ τῶν μυρμήκων εἶδος ἐν μιᾷ καὶ τῇ αὐτῇ ἐμπέσοι διαφορᾷ, ἀλλὰ
643,2. τὸ μὲν αὐτῶν ἐν τῇδε τὸ δ' ἐν ἐνείνῃ. ἤγουν εἰδικὴν διαφοράν. αὕτη γάρ ἐστιν
ἡ τὴν οὐσίαν εἰδοποιοῦσα ἑκάστου, ἤτοι τὴν ἀναιμίαν. εἰ οὖν τὸ ἔναιμον ὑπάρ-
χει τινί, δῆλον ὅτι καὶ τὸ ἀντικείμενον τὸ ἄναιμον, εἴπερ ἐστί, διαφορά[47]). προσ-
θέμενος πρὸ μικροῦ ὡς ἀδύνατον εἰδοποιοὺς εἶναι διαφορὰς τῶν στερήσεων, διὰ

---

39) Schol. 246, b; 695, b. Zeller 2, 411. 423. Waitz 2, 359. Brandis 709—714. 40) Karsten Emp. 408 fg. 450. Arist. Met. 993, 17, dazu Bonitz 2, 126. Schwegler 3, 101. de anima 408, 19, dazu Trendelenburg p. 279 fg. de gen. et corr. 333, b, 11, dazu Wimmer Phyt. Ar. fragm. 50. und Meyer Gesch. d. Bot. 1, 128. Schol ad Met. 587, b. Stein Emp. fragm. p 55. Torstrik de anima p. 124. 41) Schol. 548. 817, 31. Bonitz 2, 88. 537. Zeller 2, 54. 42) cf. Plat. Tim. 70. Gal. de plac. H. et Plat. III, 1. VIII, 8 p. 707. Philippson ὕλη ἀνδρ. p. 26 fg. Meyer arist. Thierkunde p. 438. Sprengel Vers. einer Gesch. d. Arz. 1, 283 Janus Zeitschr. f Gesch. u. Lit. d. Med. 1847. p. 658. 43) Meyer Ar. Thierk. 84. 85. Topic. VI, 6, besonders 144, b. 44) Schol. 179, b, 40 bis 180; 243, a; Analyt. prior. 1, 31; post. 2, 5; Brandis 200 261. Zeller 2, 380. Trendelenburg de anim. 199. Waitz 1. 460; 2, 387. Meyer 84. 138. 45) Meyer 134 fg. ἔνυδρον gebraucht Ar. in 18 Stellen für Wasserthier im allg., in 17 St. für Fische und κήτη, in 1 St. für Sumpfvogel. In diesen 36 St. steht es 1mal im Gegensatz zu χερσαῖον, 11mal zu πεζόν, 1mal zu ὄρνις, 1mal zu πτηνόν. 46) Arist. 672, b, 10. 47) dies erläutert auch zum Theil die vielbesprochene Stelle 642, b, 35, wo für ἄναιμα Tietze p. 97 ἀντικείμενα, Prantl (de Ar. libr. etc.) p. 12 ἄτομα, alle andern (Frantzius, Meyer 88, Brandis 1294, nicht 1229) ἄναιμα mit Bekk. lesen.

τῶν νῦν λεγομένων ἐμφανέστερον τοῦτο κατασκευάζει καί φησιν· ἐὰν ἀδύνατόν
ἐστι τοῖς ἀλλήλων διαφέρουσι τῷ εἴδει μίαν καὶ τὴν αὐτὴν εἶναι διαφοράν, οἷον
τὴν διποδίαν τὴν αὐτὴν εἶναι ἀνθρώπῳ καὶ ὄρνιθι· (διάφορος γὰρ καὶ παρηλλα-
γμένη ἡ τοῦ ἀνθρώπου διποδία πρὸς τὴν τοῦ ὄρνιθος, ὥσπερ καὶ ἡ ἐναιμότης ἑτέρα
ἡ ἐν ἀνθρώπῳ καὶ ἐν ἵππῳ, εἴπερ ὁμολογουμένως ἔναιμόν ἐστι τούτων ἑκάτερον
καὶ ὡς οὐσιώδης αὐτῶν διαφορὰ τὸ αἷμα παραλαμβάνεται)· εἰ δὴ τοῦτο οὕτως
ἔχει, ἡ καθ' ἕξιν διαφορά, οἷον ἡ ἐναιμία, εἰς εἰδοποιοὺς διαιρεῖται διαφοράς, εἵς
τε τὴν ἐν ἀνθρώπῳ καὶ ἵππῳ ἐναιμίαν, εἰ δὲ αὕτη, καὶ ἡ ἐναντία λοιπόν, ἡ κατὰ
στέρησιν δηλαδή, καὶ οὕτω συμβαίνει τι ἀδύνατον τὸ εἰδοποιοὺς εἶναι διαφορὰς
τῶν στερήσεων[48]). σημείωσαι, ὡς ὥσπερ ἐκφευγόντων ἐκείνων εἰς τὴν ἄτομον ἀπὸ 17.
τῆς καθόλου διὰ τὸ μὴ ζητεῖσθαι καὶ τῆς στερήσεως εἴδη αὐτοὺς ποιεῖν, καὶ μὴ
δύνασθαι πᾶσιν ὑπὸ μίαν καθόλου διαφορὰν τὸ γένος ἅπαν ἀδιασπάστως ἀναφέρειν,
φησὶν ὡς εἰ ἄτομοι αἱ διαφοραὶ οὐ κατὰ πλειόνων τῶν εἰδῶν κατηγορηθήσονται,
εἰ δὲ καθόλου οὐ δυνηθήσονται ὑπὸ μίαν ἀδιασπάστως ἀναγαγεῖν τὸ ζῷον, οἷον
ὄρνιν, ὅπερ λίαν ἄτοπον. κἂν μὴ λευκὰ ᾖ μέλανα εἴη τὰ διαιρούμενα, καὶ διπλα- 22.
σιαζόμενα. εἰς δύο γὰρ τὸ λευκὸν διεῖλεν ἓν ὄν· τὰ δὲ δύο διπλάσια τοῦ ἑνός.
κἂν γοῦν μὴ λευκὸν εἴη, ἀλλ' ἄλλο τι τὸ αὐτὸ ποιήσει. ἐπεὶ οὖν ἡ διαφορὰ ἐν
τῷ οἰκείῳ γένει ὡς εἶδος ἐν ὕλῃ ἐστίν, ὅσαι ἂν εἶεν αἱ διαφοραί, τοσαῦτα καὶ τὰ
εἴδη, καὶ ὅσαι ἔσονται αἱ διαφοραὶ τοῖς εἴδεσιν, ὅπερ ἄτοπον καὶ ἀδύνατον. δεῖ
γὰρ τὰ εἴδη πλείω εἶναι τῶν διαφορῶν[49]). νῦν ὑποτίθεται τὴν οἰκείαν δόξαν 643, b, 3.
αὐτός, ὅτι ὅταν διαιρῇς τι μὴ διχοτομῇς μόνον, ἀλλ' εἰς ὅσα διαιρεῖται διαιρεῖ·
οἷον τὸ ζῷον μὴ εἰς (ἄ)πτερον καὶ πτηνόν, ἀλλὰ καὶ εἰς τὰ ἕτερα πάντα, εἰς ὅσα
διαιρεῖσθαι δύναται, καὶ οὕτως ἂν τὰς στερήσεις παραλάβῃς μέν, ἀλλὰ διαφορῶν
χάριν· οὐ μέντοι εἰς τὸ διαιρέσει ταύτας ἀναγκασθῆναι εἰς εἴδη. ὧν ἕκαστον τῶν 7.
ἀπηριθμημένων, εἰ μὲν ὁμώνυμον, οὐ διῄρηται χωρίς, εἰ δὲ ἔνεισι τῷ εἴδει τὰ
ἥμερα πρόβατα καὶ τὰ ἄγρια, οὐ διάφορον τὸ ἥμερον καὶ τὸ ἄγριον. εἰ οὖν λέγοι 15.
τις, ἄνθρωπός ἐστι ζῷον δίπουν, ἁπλῇ αὕτη, εἰ δὲ λέγοι, ἄνθρωπός ἐστι ζῷον ὑπό-
πουν, διπλοῦν, ἐκ συμπλοκῆς· συνέπλεξε γὰρ τὸ ὑπόπουν τῇ ἑαυτοῦ διαφορᾷ. τὸ
γὰρ δίπουν διαφορὰ ὑπόποδός ἐστιν. ζητεῖ, διὰ τί, ὅσα ἔχουσι κοινωνίαν, οὐχ
ἑνὶ ὀνόματι δηλοῦνται, ὥσπερ ὄρνις καὶ ἄνθρωπος τὸ δίπουν, καὶ λύει, ὅτι ἐκεῖνα
ἑνὶ ὀνόματι δηλοῦνται, ὅσα τῶν ἄλλων τῶν ὁμοιογενῶν καθ' ὑπεροχὴν καὶ ἐν τῷ
μᾶλλον καὶ ἐν τῷ ἧττον διενηνόχασιν, οἷον ἀετὸς καὶ κορώνη καὶ στρουθός· ὅσα
δὲ πρὸς ἄλληλα τὸ ἀνάλογον κέκτηται, ταῦτα οὐχ ἑνὶ ὀνόματι δηλοῦσθαι δυνή-
σονται, οἷον ἄνθρωπος καὶ ἰχθὺς καὶ ὄρνις. σημείωσαι ὡς τὸ δυσχεραίνειν καὶ 645, 15.
δειλαίνεσθαι μᾶλλον δὲ βδελύττεσθαι τὰ δοκοῦντα τοῖς πολλοῖς ἄτιμα, παιδαριω-
δές ἐστιν[50]). σημείωσαι ὡς τὸν μέλλοντα εἴτε περὶ φυσικοῦ ἔργου ἢ τεχνιοῦ 30.
εἰπεῖν, περὶ τοῦ εἴδους αὐτοῦ μᾶλλον ποιεῖσθαι τὸν λόγον οὐ περὶ τῆς ὕλης, εἴ γε
μέλλει τὸ οὗ ἕνεκα εἰπεῖν. ἐν γὰρ τοῖς φυσικοῖς σχεδὸν τοῖς πλείστοις τὸ εἰδικὸν
καὶ τὸ τελικὸν αἴτιον ὁμοῦ ἐστι καὶ συνεζευγμένον. σημείωσαι ὅτι διὰ τὴν ψυχὴν b, 19.

48) Vgl. Torstrik de anima p. 198. 49) Brandis 569. 1230. Waitz 1, 279. Bonitz 2, 335. Meyer 103. 331. Brentano Bedeutung des Seienden bei Ar. S. 111. 50) cf. de anim. 415, a, 29. Plat. Soph. 265, E.

21. τὸ σῶμα καὶ διὰ τὸ ἀντιλαμβάνειν ἡ χείρ. σημείωσαι ὡς τὰς πράξεις μᾶλλον ἔχειν τὸν λόγον οὗ ἕνεκα ἢ τὰ ὄργανα. εἰσὶ δὲ πράξεις αἱ μὲν αὐταὶ καθ' αὑτάς, αἱ δὲ ἄλλων ἕνεκα γεγονυῖαι, ὃν τρόπον αὐτὰς πρὸς ἀλλήλας ἔχειν καὶ διεστάναι γινώσκομεν. οὕτω καὶ τὰ ὄργανα, ὧν εἰσιν αἱ πράξεις πρὸς ἄλληλα διίστανται. ἐπειδὴ τὸ τῆς χειρός ἐστιν ἕνεκα τοῦ προσάγειν τῷ στόματι τὴν τροφήν, τοῦ δὲ στόματος ἕνεκα τοῦ παραπέμπειν αὐτὰ τῇ γαστρί, τῆς δὲ γαστρὸς ἕνεκα τοῦ τῷ ἥπατι πρὸς τὸ ἐξαιματοῦν[51]) παραπέμπειν, ἀναγκαῖον, ὡς αἱ πράξεις τῶν ὀργάνων
616, a, 8. πρὸς ἀλλήλας ἔχουσιν, οὕτω καὶ αὐτὰ τὰ ὄργανα πρὸς ἄλληλα ἔχειν. ἐν τῷ πρώτῳ βιβλίῳ τῆς παρούσης πραγματείας μεμψάμενος, ὡς ἐν πᾶσι τὸ ὑλικὸν αἴτιον τῆς τῶν ζῴων αἰτιουμένους (?) συστάσεως, (τήν τε γὰρ κοιλίαν οὕτω κοίλην γενέσθαι λέγουσι διὰ τὸ τὴν ὕδατος φύσιν κατωφερῆ οὖσαν κάτωθεν ῥεῦσαι καὶ οὕτω κοιλᾶναι τοῦτο τὸ μόριον τοῦ ζῴου, καὶ τὸ τῶν μυκτήρων ὄργανον οὕτως εὐρῦναι τὴν τοῦ πυρὸς φύσιν ἄνω φερομένην) καὶ τὴν διαιρετικὴν ἀπορραπίσας τοῦ Πλάτωνος μέθοδον, εἰπεῖν τε ὡς οὐ δυνατὸν ἐκ ταύτης τὰ εἴδη τῶν ζῴων εὑρίσκειν ἅπαντα, εἰ μὴ καὶ μᾶλλον συγχέειν καὶ διασπᾶν τὸν τρόπον τῆς οἰκείας μεθόδου, ἐκθέμενος, ὅπως περὶ ἑκάστου τῶν μορίων τῶν ζῴων μέλλοι διαλαβεῖν, ἐντεῦθεν τῆς οἰκείας
12. διδασκαλίας ἀπάρχεται. σημείωσαι τὸν Ἀριστοτέλην τρεῖς τὰς συνθέσεις λέγοντα, μίαν μέν, δι' ἧς τὰ ὁμοιομερῆ, δευτέραν δέ, δι' ἧς τὰ ὀργανικά, τρίτην δέ, δι' ἧς τὰ μέλη, οἷον χεῖρα καὶ πόδα. οὐκ ἀποδέχεται δὲ τὸ ἐκ τῶν στοιχείων λέγειν τὴν πρώτην σύνθεσιν ἀλλὰ μᾶλλον ἐκ τῶν δυνάμεων, ἤτοι τῶν τετάρων ποιοτήτων, διὰ τὸ κατὰ μὲν τὴν ὕλην ταὐτὰ εἶναι τὰ τέτταρα στοιχεῖα, κατὰ δὲ τὰς ποιότητας εἰδοποιεῖσθαι, καὶ τὸ διαφέρειν λαμβάνειν ἕτερον ἑτέρου. ἐκ τούτων δέ, ὡς οἶμαι, καὶ ἐν τῷ περὶ κράσεων ὁ Γαληνὸς λέγει ἠπατῆσθαι τοὺς λέγοντας τὸ θερμὸν καὶ τὸ ψυχρὸν καὶ τὸ ξηρὸν καὶ τὸ ὑγρὸν τὸν Ἀριστοτέλην στοιχεῖα λέγειν καὶ οὐχὶ πῦρ ἀέρα ὕδωρ τε καὶ γῆν, ὡς κακῶς νοοῦντας, τί βούλεται ἐνταῦθα
13. λέγειν. τὸ καλουμένων ὑπό τινων[52]) οὐ μάτην, ἀλλ' ὅτι ἔνιοι οὐ ταῦτα τὰ τέσσαρα

---

51) Vgl. Daremberg notices et extraits S. 106 u. 52) Verzeichniss der mit καλ. versehenen Wörter aus den naturhist. Schr. des Arist.: die gesperrt gedruckten kommen in mehreren Abtheilungen vor. ὁ καλούμενος σκάρος 662, 7; 675, 3; οἰσοφάγος 664, 16; 495, 19; πρόλοβος 674, b, 22; ἀρχός 507, 33; 675, b, 10; Θύλος 679, 1; αὐλός 679, 3; 476, b, 16; αὐχήν 685, b, 34; νοῦς 737, 10; 407, 5; 432, b, 26; ὀμφαλός 740, 30; 777, 26; ἐρυθρῖνος 741, 35; βάτραχος 749, 23; θάνατος 469, b, 19; πνιγεύς 470, 9; κόρδυλος 476, 6; 589, b, 27; σπῖνος 832, b, 29; ἱδρώς 868, 24; γράσος 879, 23; ὕβος 499, 14; κεκρύφαλος 507, b, 4; ἀστακός 525, 31; τράχηλος 526, b, 8; βύσσος 530, b, 5; ἀχέτης 532, b, 16; ἰχθύς 533, 26; ἦθμός 534, 22; ψύλλος 537, 6; μυκτήρ 541, b, 15; ἀστήρ 548, 5; πλεύμων 11; ψήν 557, b, 26; λεῖος 565, b, 2; ἀστερίας 576, 17; ἀφρός 569, 29; κυνόδους 575, 5; κόραξ 593, b, 18; κάστωρ 594, b, 30; τύπανος 609, 27; καραδριός 615, 1; αἰγοθήλας 618, b, 2; πύγαργος 19; βομβύλιος 623, b, 12; βασιλεύς 34; κλῆρος 626, b, 17; ἡ καλουμένη ἀορτή 652, b, 28; 458, 19; 513, 20; 495, b, 7; 514, 24; 515, 29; ῥάχις 654, b, 12; 524, 7; φάρυγξ 664, 36; ἐπιγλωττίς 665, 9; 495, 28; νῆστις 675, b, 33; πυστία 676, 6; γλῶσσα 678, b, 23; 547, b, 5; μήκων 679, b, 11; 680, 21; 531, 16; οὐρά 689, b, 30; κέρκος 690, 1; ὀσχέα 719, b, 5; 510, 12; γραῦς 743, b, 7; κοτυληδών 745, b, 33; λέκιθος 751, b, 14; μύλη 775, b, 25; 776, 13; λείκη 784, 26; πολιά 784, b, 12; λαιά 787, b, 26; κόρη 438, b, 16; 533, 9; κοιλιά 476, 33; 547, 25; Ἕννα 836, b, 13; ἀρτηρία 420, b, 29; ἀφή 423, b, 30; ἀκαλήφη 487, b, 12; παρεγκεφαλίς 494, b, 32; ἴυγξ 504, 12; ταινία b, 32; Συκίνη 507, 17; μήνιγξ 514, 17; ἑλεδώνη 525, 17; σκολοπένδρα 532, 5; μελίκηρα 546, b, 19; σίττη 616, b, 22; ἕλμινς 551, 8; κονίς 556, b, 23; κωβῖτις 569, b, 23; βελόνη 571, 2; χρυσομῆτρις 592, b, 30; λάτυξ 594, b, 32; χλωρίς 615, b, 32; 618, 11; ἁλοσάχνη 616, 20; φῶνυξ 617, 9; κύμινδος 619, 14; φήνη b, 23; φωλίς 621, b, 8; μήτρα 628, 18. 35. b, 25; τὸ καλούμενον σηπίον 654, 21; ξίφος ib; ὄγχος 658, b, 30; 659, b, 5; 662, 34; ἔμπροσθεν 665, 13; 684, b, 14; 467, b, 30; ἔντερον 674, 12; κόλον 675, b, 7; μεσεντέριον 677, b, 36; ᾠόν 680, b, 80; κέντρον 682, 10; στῆθος 688, 13; θερμόν

στοιχεῖα, ἀλλὰ τὴν ὕλην καὶ τὸ εἶδος, ὡς καὶ αὐτὸς ὁ Ἀριστοτέλης στοιχεῖα ὑπέθετο, καὶ ἄλλος δὲ πάλιν ἄλλα. ὅ τε γὰρ Ἐμπεδοκλῆς τὸ νεῖκος καὶ τὴν φιλίαν τοῖς τέτταρσι στοιχείοις προστίθησι καὶ Θαλῆς δὲ τὸ ὕδωρ μόνον, Ἡράκλειτος δὲ

736, b, 34; *γάλα* 752, b, 23; *μέλαν* 437, b, 1; 492, 2; *βόλινθον* 836, 7; *ἤλεκτρον* 836, b, 4; *Ποπλώνιον* 837, b, 31; *Δέλφιον* 839, b, 1; *Ἰσμήνιον* 843, b, 21; *δέρμα* 893, b, 33; *κεκρύφαλον* 895, b, 19; *θέναρ* 502, b, 20; *ἤνυστρον* 507, b, 9; *αἰδοῖον* 510, 29; *κεράτιον* b, 19; *πάγκρεας* 514, b, 11; *καρκίνιον* 529, b, 20; *γῆρας* 549, b, 26; 600, b, 15; *καυλίον* 591, b, 12; *οἶστρον* 602, 28; *πῶλιον* 605, b, 6; *κινάμωμον* 616, 8; *στόμα* 678, b, 7; 468, 10; 476, 28; *τὸν καλούμενον Τυρρίαν* 833, 31; *τὴν καλουμένην Ἰαγγαρίαν* 840, 27; *τῶν καλουμένων ψυχῶν* 723, b, 4; *τοῖς καλουμένοις Γελωνοῖς* 832, b, 7; *οἱ καλούμενοι κυπρῖνοι* 660, b, 36; *κάραβοι* 683, b, 27; 476, b, 32; *βασιλεῖς καὶ ἡγεμόνες* 759, 21; *βούμυκοι* 937, b, 39; *φρένες* 496, b, 11; *κινοδόντες* 501, b, 17; *θορυί* 521, b, 20; *πινοθῆραι* 547, b, 28; *κινοραῖσται* 557, 18; *κορακῖνοι* 571, 25; *γίννοι* 577, b, 25; *ἡμίονοι* 580, b, 1; *ἁλιάετοι* 619, 4; *γνήσιοι* 619, 8; *φοινίκουροι* 632, b, 28; *δρομάδες* 570, b, 21; *αἱ καλούμεναι ἵππες* 650, b, 14; *τευθίδες* 678, b, 29; *λεπάδες* 679, b, 25; *χεῖρες* 686, 27; *σκολοπένδραι* 707, 30; 471, b, 22; *ὑστέραι* 716, 33; *φλέβες* 738, 9; 520, b, 13; *νύμφαι* 758, b, 33; *θρᾶτται* 785, b, 23; *φαιαί* 802, 2; *κρύκαι* 852, b, 29; *πύλαι* 496, b, 32; 586, b, 19; *γαστροκνημίαι* 499, b, 5; *ὠμοπλάται* 516, 32; *πυγολαμπίδες* 523, b, 21; *πλεκτάναι* 524, b, 1; *κονίδες* 539, b, 11; *ψυχαί* 551, 13; *ἀσκαρίδες* 552, 4; *ἐκρύσεις* 583, 25; *τὰ καλούμενα ὄστρεα* 654, 3; 528, 1; *σελάχη* 655, 23; 732, b, 1; 754, 23; 476, 2; 489, b, 2; 511, 4; *μαλάκια* 678, 16; 732, b, 7; 523, b, 2. 22; *ᾠά* 680, 13. 17. 24. 25; 717, 5; 544, 17; *ὀλοθούρια* 681, 17; 487, b, 15; *πλῆκτρα* 694, 13; 516, b, 2; *καταμήνια* 721, b, 5; 727, 2; b, 11; 521, 26; *σπέρματα* 731, 4; *οἴρια* 753, 22; *λιμνόστρεα* 763, 30; b, 12; *ἑκτρώματα* 773, b, 18; *ἐνύπνια* 779, 9; *Μύκαλλα* 840, 17; *λάχανα* 923, 31; *ξύσματα* 404, 3; *τήθυα* 528, 20; 588, b, 20; *ὑπηνέμια ᾠά* 730, 32; *ὁ θώραξ καλούμενος* 684, b, 28; 686, b, 5; 689, 4; 693, 25; *λύκος* 617, b, 17; 622, b, 29; 623, 2; *ἁλιοκοπός* 618, 4; *ἁλιεύς* 620, b, 12; *φώρ* 624, b, 25; 625, 5. 34; 553, 9; *αἰτώλιος* 563, 32; *νεοττός* 565, 3; *φυητήρ* 541, b, 17; *σμίξων* 543, b, 15; *ἱππέλαφος* 498, b, 32; *πρέσβυς* 609, 17; *ἀστερίας* 609, b, 22; *μελαγκόρυφος* 616, b, 4; *γναφαλος* 616, b, 16; *ἡ ἀλωπεκία καλουμένη* 893, b, 38; *μέση* 922, 28; *ἀοπίς* 612, 16; *χρυσαλίς* 733, b, 14; *Ἰτέη* 844, 6; *κόρη* 780, 27; *ἁφή* 533, 17; *τὸ νυμφιᾶν καλ.* 604, b, 10; *τῷ Κέρατι καλουμένῳ* 835, b, 5; *τὴν Ποσειδωνίην καλουμένην* 839, 30; *χώραν* 841, 28; *οἱ ὀρνυβάτοι καλούμενοι* 746, b, 6; *ὀρείχαλκοι* 834, b, 25; *τεῖθοι* 524, 25; *νεκτάλοπες* 780, 16; *λευκοί* 567, 20; *ἐγκρασίχολοι* 569, b, 27; *ἰχνευμονες* 552, b, 25; *αἱ Ἀχαΐναι καλούμεναι* 506, 24; *αἰγίθαλοι* 626, 8; *μῆτραι* 761, 6; *γραῦαι* 893, b, 32; *τοῖς Ἀρδιαίοις καλουμένοις* 844, b, 9; *τοὺς Γαιλαντίους καλουμένους* 832, 5; *κινύδοντας* 579, b, 12; *τὰ μετάχειρα καλούμενα* 770, b, 7; *λύφοιρα* 491, 1; *χῖα* 499, b, 29; *γαμφώνυχα* 662, b, 1; *Γάδειρα* 844, 24; *καταμήνια* 581, b, 1; *λιμνόστρεα* 547, b, 11; *τὰς Πλαγκτὰς καλουμένας* 839, b, 20; *φοῖδας* 967, 27; *ὁ Ἰνδικὸς ὁ καλούμενος ὄνος* 663, 23; *ὁ καλ. ποταμὸς ψυχρός* 519, 16; *χρυσὸς ὁ καλ. ἄπυρος* 833, b, 7; *τὸ καλ. τηθύων γένος* 680, 5; 531, 6; *τὸ κύτος τῶν πολυπόδων ἡ καλουμένη κεφαλή* 654, 23; 685, 4; 530, b, 19; 763, 24; 468, 24; 477, 5; 523, b, 24; 524, 13; *ἡ τῶν πτηνῶν φίσις καὶ καλ. ὀρνίθων* 669, 30; *νόσος ἡ καλ. παλμός* 479, b, 21; *ἡ καλ. ἁπλῆ γένεσις* 314, 7; *ἡ καλ. Πυρρίχη βοῦς* 595, b, 15; *τῆς καλ. Λιβυακῆς χώρας* 843, b, 15; *τῇ ἄκρᾳ τῇ καλ. Πελωριάδι* 840, b, 25; *ἐν τῇ Θράκῃ τῇ καλ. ποτὲ Κεδρειπόλει* 620, 33; *τὸν ἱερὸν καλ. ὄφιν* 845, b, 16; *λίθον καλούμενον μάχαιραν* 847, 5; *τὸν καλ. Θεόδωρον ποταμὸν* 833, b, 15; *τὸ καλ. ζῷον ἐφήμερον* 490, 34; *βοτάνην καλ. χαρισίαν* 846, b, 7; *οἱ Ἡρακλεωτικοὶ καλ. καρκίνοι* 684, 8; *αἱ καλ. θαλάττιαι χελῶναι* 589, 26; *ἐκ τῶν Ἐρκυνίων καλ. δρυμῶν* 839, b, 9; *τῶν Μελάνων καλ. ὀρῶν* 846, 26; *περὶ Αἰγύων τῶν καλ. ἑπταπλεύρων* 493, b, 15; *ἐν τοῖς καλουμένοις Ὀρφέως ὕμνοις* 410, b, 28; 734, 19; *τὸ νόσημα τὸ καλ. σατυριᾶν* 768, b, 34; *τὰ ἄλλα τὰ καλούμενα σπλάγχνα* 647, 34; 478, 14; *πρόβατα τὰ καλ. Πυρρικά* 522, b, 24; *τὰ καλ. γῆς ἕντερα* 570, 16; 709, 28; 762, b, 26; *ὁ τύπος Ἑρινθος καλούμενος* 844, 2; *ἱέραξ ὁ φασσοφόνος καλ.* 615, b, 7; *ἡ φλὲψ ἡ μεγάλη καλ.* 666, b, 26; 458, 18; *ὁδὸς Ἡράκλεια καλ.* 837, 8; *πόλις Οἰναρία καλ.* 827, b, 32; *ὄρος τὸ Ἐλαφῶν καλ.* 578, b, 27; *ἐν τῷ ὄρει τῷ Ἠοαίνῳ καλ.* 830, 5; *λίθον σώφρονα καλ. κατ' ἀντίφρασιν* 846, b, 27; *βοτάνην σίστρον καλ.* 846, 34; *αἱ οἰνώδειες ῥῦαι καλ.* 922, 9; *αἱ παρῷαι ὄπποι καλ.* 630, 29; *αἱ ἑπτὰ νῆσοι αἱ Αἰόλου καλ.* 838, b, 30; *τὰ καλούμενα ὑπό τινων στοιχεῖα* 646, 13; 715, 11; 736, b, 31; 322, b, 1; *τὸ ἐκ Παρνασσοῦ καλ. ἑ. τ. ἐπίστρον* 681, 23; *αἱ καλ. ἑ. τ. χρυσαλλίδες* 758, b, 31; *παρθένον ἑ. τ. Μελάγκραιραν καλ.* 838, 9; *ὁ καλ. ἑ. τ. ναυτίλος* 525, 20; *τὰ καλ. ἑ. τ. κοκάλια* 528, 9; *αἱ καλ. ἑ. τ. γάλακες* 528, 22; *τὰ καλ. ἑ. τ. κυνόσουσα καὶ οὖρια* 560, 5; *ἡ καλ. ἑ. τ. καπρία* 573, b, 2; *ἡ καλ. γαλκὶς ἑ. τ.* 604, b, 23; *ὁ καλ. ὑπὸ τῶν γυναικῶν πρόφορος* 586, 30; *τὸ καλ. ὑπὸ τῶν ἁλιέων αἰδοῖον* 544, 12; *φάρμακον τὸ καλ. ὑπ' αὐτῶν τοξικόν* 837, 12; *τὸ διάζωμα καλοῦσί τινες φρένας* 672, b, 10; *ἃς δὲ καλ. οἱ μὲν κνίδας οἱ δ' ἀκαλήφας* 681, 36; *ἃ καλ. γῆς ἔντερα* 705, b; *ὃ καλ. ἐξονειρώττειν* 739, 23; *ἃ καλ. ὑπηνέμια καὶ ζεφύριά τινες* 749, b, 1; *ἄμπελος ἣν καλ. τινες κάπρεον* 770, b, 35; *αἴγες ἃς καλ. τραγαίνας* 770, b, 35; *ὃ καλ. μύλην* 775, b, 27; *ἣν καλ. μύλην* 775, b, 33; *ὃ καλ. τινες τραγίζειν* 788, 1; *οὓς καλ. τινες κνίπας* 444, b, 12; *ὃ καλ. κοράκιον* 837, 20; *ὕδωρ (καλ. αὐτὸ Ἀσβαμαῖον)* 845, b, 33; *ἄμπελος, ἣν καλ. μαινομένην τινές* 846, 38; *ζοφερόν. ὃ καλ. ὄρφνιον* 792, 27; *ἣν καλ. τινες στιγμὴν* 427, 10; *οὓς καλ. δρομάδας* 488, b; *ὃν καλ. σκάρον* 508, b, 11; *ἣν καλ. μίτυν* 524, b, 15; 526, b, 32; *ἃ καλ. τὸ μὲν σήπιον τὸ δὲ ξίφος* 524, b, 23; *ἣν*

τὸ πῦρ, τὴν δὲ γῆν μόνην οὐδείς, Ἱππομένης (sic) δὲ τὸν ἀέρα καὶ Ἀναξαγόρας τὰς
15. ὁμοιομερείας. ὅρα αὐτὸν πρῶτον εἰπεῖν βουλόμενον τίνων χάριν ἐδεήθη τὸ ζῷον ὁμοιομερῶν τε καὶ ἀνομοιομερῶν, καὶ ὡς τὰ ὁμοιομερῆ τῶν ἀνομοιομερῶν ἕνεκα. σημείωσαι ὡς τὸ οὗ ἕνεκα πρότερον τῇ φύσει ἐστὶ τοῦ δοκοῦντος προτέρου τῇ γενέσει εἶναι, οἷον ἄνθρωπος σπέρματος, εἰ καὶ τὸ σπέρμα ἡμῖν πρότερον τοῦ ἀνθρώπου φαίνεται .... τινὰ (τινὲς) τῶν φιλοσόφων ὡς καὶ Ἀριστοτέλης αὐτὸς ἐν τῷ περὶ οὐρανοῦ ἔφησε τὰς δόξας τῶν στοιχείων τὰς παρὰ τοῖς παλαιοῖς λέγων ....[53]) λέγοντα διὰ τί ἡ χεὶρ ἔχει νεῦρα καὶ ἀρτηρίας καὶ φλέβας καὶ συνδέσμους καὶ ὅσα ἕτερα, ἃ οὐ τῆς αὐτῆς οὐσίας ἀλλήλοις εἰσί, καὶ ὡς διὰ τὰς διαφόρους καὶ πολυμόρφους πράξεις διαφόρων καὶ πολυμόρφων καὶ οὐ τὴν οὐσίαν τὴν αὐτὴν ἐχόντων τῶν μορίων τὸ ὅλον ὄργανον δεῖται, οἷον τὸ ἦπαρ, ὀργανικὸν ὄν, λέγεται συνίστασθαι „καὶ ἐκ πλειόνων καὶ ἑνός“, καὶ ἡ φλὲψ ὡσαύτως. ἐὰν γὰρ τὸ ἦπαρ, ὡς κύκλος ὤν τις, εἰς κύκλους τμηθείη, εἰς ὁμοιομερῆ τέτμηται, ὡσαύτως τε καὶ ἡ φλέψ· ἐὰν δὲ ἐπ᾽ εὐθείας, εἰς ἀνομοιομερῆ. τῷ γὰρ κύκλῳ οὐχ ὁμοειδὴς ἡ γραμμή. λέγεται οὖν τὸ ἦπαρ ἐξ ἑνὸς συνίστασθαι, ἐὰν κατὰ τὸ σχῆμα αὐτοῦ τμηθείη, οἷον κατὰ κύκλον, ὡσαύτως τε καὶ ἡ φλέψ· ἐκ δὲ πλειόνων λέγεται συνίστασθαι. ὅταν μὴ κατὰ τὸ ἴδιον αὐτοῦ σχῆμα τμηθῇ ἀλλὰ γραμμοειδῶς. τότε γὰρ ἐν ἄλλῳ αὐτοῦ μέρει εὕρηται ἀρτηρία, καὶ ἐν
30. ἑτέρῳ φλέψ, καὶ ἐν ἑτέρῳ ἕτερόν τι[54]). ἐπαγωγή ἐστιν ἔφοδος ἀπὸ τῶν κατὰ μέρος τὸ
b, 6. καθόλου δεικνύουσα[55]). τὰ ἐξ ὧν σύγκεινται τὰ ἀνομοιομερῆ, ἤγουν ἐκ τῶν ὁμοιομε-
10. ρῶν, ὁσιῶν φλεβῶν καὶ τῶν τοιούτων. ἐπὶ τῶν διαστάσεων. τρεῖς γὰρ καὶ αὗται· μῆκος βάθος καὶ πλάτος καὶ ἑτέρων διαφόρων καὶ τῶν ἀγιστειῶν, ὡς ἐν τῷ πρώτῳ εἴρη-
25. ται τῆς περὶ οὐρανοῦ πραγματείας[56]). αἱ γὰρ φλέβες καὶ τὰ ὀστᾶ καὶ τὰ νεῦρα καὶ αἱ σάρκες χάριν τῆς συστάσεως τούτων εἰσίν, ἵνα πρόσωπόν τε καὶ χεῖρας καὶ πόδας
31. καὶ ὅλον ζῷον ποιήσωσιν. δεῖ λαβεῖν ἀπὸ κοινοῦ τὰ δὲ ὁμοιομερῆ ἐκ πλειόνων καὶ ἑνός ..... ἡ γὰρ καρδία (637, 31) καὶ τῶν λοιπῶν σπλάγχνων ἑκάστων (ἕκαστον) ὁμοιομερῆ ὄντα καὶ ἐκ πολλῶν ἐστι καὶ ἐξ ἑνός, ὡς καὶ ἐν τῷ πρώτῳ εἴρηται τοῦ περὶ ψυχῆς[57]). καθὸ μὲν γὰρ τὸ ὅλον ἐκ σαρκός ἐστι, φέρε εἰπεῖν ἐξ ἑνὸς σύγκειται· καθ᾽ ὅσον δὲ πάλιν πολυσχήμων ἐστὶ καὶ φαίνεται μὲν εἶναι καὶ κυλινδροειδὴς καὶ φυσικὴ καὶ πυραμοειδής τε καὶ κυκλική, καὶ οὐχ ἕν τι τούτων ἐστίν,

---

καλ. βολίταιναν 525, 19; ἃς καλ. μαίας 525, b, 4; γόμφιοι, οὓς καλ. κραντῆρας 501, b, 25; οὓς καλ. ἱππεῖς, 525, b, 7; ἣν τινες καλ. θαλάττιον οἷς 529, b, 15; ἃ καλ. τινες κόττους 534, 1; ὃ καλ. ἀφαρέα 543, 13; σπόγγον, ὃν καλ. Ἀχίλλειον 548, b, 1; ὃ καλ. ἁπλυσίας 549, 4; ἣν καλ. τινες κράμβην 551, 15; ὃν καλ. τινες χελῶνα 591, 24; ὃν καλ. τινες μίρινον 602, 1; ἣν καλ. μήλιδα 605, 16; ἣν καλοῦμεν χυμόν 441, 22; καλεῖται μύτις ὑπό τινων 681, b, 20. 22; ἐκεῖ τὸ πηρωθὲν καλ. μετάχοιρον 749, 2; σπήλαιον ὃ καλ. γλαφυρόν 834, b, 34; γένος ὃ καλ. σκορπιομάχον 844, b, 24; ζῷον ὃ καλ. λεοντοφόνον 845, 28; ὃς σταφυλὴ καλ. 493, 3; ὃ καλ. βάλανος 493, 27; ὃ καλ. ὄσχεος 493, 32; ὃ καλ. βρέγμα 495, 10; ὄρνιθες, οἱ καλοῦνται ἀποδες 487, b, 25; αἳ καλ. ἡμίονοι δι᾽ ὁμοιότητα 491, 2; ὃ καλοῦνται φρένες 506, b; ἰχθύες οἳ καλ. ἐπιτράγιαι 538, 14; λίθον μωδῶν κεκλημένον βαρβαρικῶς 846, 32; ὁ ἀστερίας ὁ ἐπικαλούμενος ὄκνος 617, 5; τὰ λεγόμενα (vgl. Oribas. ed. Bussm. et Dar. I, 558) ᾠά 763, b, 5; 529, 1; b, 11; 530, b, 2. 30; ὁ λεγ. εὐρὼς 784, b, 10; αἱ λεγ. ἑπτά μέγισται νῆσοι 837, 31; τὰ λεγ. φυτὰ μαργαρῖται 819, 11; τὸ λεγ. ἡλιοσκόπιον 819, b, 21; τὸ λεγ. σμηρίον 829, 20; σπάσις, ὥς τινες λέγουσιν 739, b, 14; ποταμός τις Κετὸς ὀνομαζόμενος 838, 12; τὸν ὀν. τόπον 840, b, 1; 842, b; τὴν ὀν. Ὑπάτην 843, b, 16; ῥάβδον ὀν. λευκόφυλλον 846, 28; τὸ θηρίον τὸ πάρδιον ὀν. 498, b, 33; οἱ ὀν. πόδες 523, b, 22; ἡ ὀν. πλατεῖα 551, 9; οἱ ὀν. ἀλώπεκες 621, 15; λίμνη ἡ πρυσαγορευομένη ἄορνος 839, 12; τὸ πρ. Ῥήγιον 843, 5; τῶν Αἰόλου πρ. νήσων 843, b, 6. 53) cf. Schol. 454 fg 469 fg. 54) Schol. 491 fg. 55) Arist. 68, b, 15; 105, 13. Schol. 194, b; 260, a. Brandis 1306. 56) Schol. 455, a. 470, a. 57) Meyer 336. 426 fg. Brandis 1144. 1260 fg. Philippson 23. 40

ἐκ πολλῶν. τὸ δὲ δηλούμενον ἐκ τούτων τοῦτό ἐστι. τὰ μὲν ἀνομοιομερῆ φησιν, ἐκ τῶν ὁμοιομερῶν συντέθηται. (sic) τὸ γὰρ πρόσωπον ὅλον ἐκ σαρκὸς καὶ ὀστῶν. οὐ μὴν καὶ τὰ ὁμοιομερῆ ἐκ τῶν ἀνομοιομερῶν. εἰ γὰρ τοῦτο, ἦν ἂν τὸ ἓν ὁμοιομερὲς πολλὰ ἀνομοιομερῆ· τὸ μέρος δηλαδὴ πολλὰ ὅλα, ὅπερ ἄτοπον. σημείωσαι ὡς πάντα τὰ τῶν ἄλλων αἰσθήσεων αἰσθητήρια ὁμοιομερῆ εἰσι διὰ τὸ καὶ ὁμοιομερὲς εἶναι τὸ τὴν πρώτην ἐνέργειαν ἐν αὐταῖς ἀποτελοῦν, οἷον ἐν μὲν ὀφθαλμῷ τὸ κρυσταλλοειδές[58]), ἢ τὸν ἀέρα τὸν χρωματιζόμενον πρώτως καὶ οὕτως καὶ τῷ αἰσθητηρίῳ τὸ αἰσθητὸν κεχρωματισμένον προσάγοντα· ἐν δ' ἀκοῇ αὖθις τὸν ἀέρα, ἐν δὲ γεύσει τὸ τόδε. ἀπορεῖ διὰ τί τῆς ἁφῆς τὸ αἰσθητήριον, ἡ σάρξ, οὐχ ἁπλοῦν ἀλλ' ἀνομοιομερές. εἶτα λέγει, ὡς ἐπεὶ δὴ ὑγροῦ ξηροῦ ψυχροῦ θερμοῦ κριτικὴ ἔμελλεν εἶναι, εἰ ἁπλοῦν τι ἦν, οὐκ ἂν τὴν τοσῶνδε κρίσιν ἀνελάβειο διαφόρων ὄντων. σημείωσαι, τί περὶ τῆς καρδίας φησὶν ὡς ἐξ αὐτῆς αἰσθητικὴ καὶ κινητικὴ καὶ θρεπτικὴ τοῦ ζῴου δύναμις· καὶ γὰρ τὰ τούτων τῶν δυνάμεων ὄργανα δι' ὧν αἱ τοιαῦται τὰς οἰκείας ἐνεργείας ἀποτελοῦσιν. τοῖς γὰρ ἀκριβεστέρως σκοποῦσι τὴν καρδίαν καὶ κυλινδροειδὴς[59]) καὶ κυκλικὴ καὶ τυμπανοειδὴς φαίνεται τῶν σχημάτων. διαδρομαῖς καὶ διαβιβάσεσι. σημείωσαι ὡς τὸ αἷμα καὶ ὁ ἰχὼρ καὶ ἡ πιμελὴ καὶ τὸ στέαρ καὶ ὁ μυελὸς καὶ ὅσα ἕτερα ὑγρὰ λέγονται μᾶλλον καὶ κυρίως καὶ ὡς (ἕως) ἂν ᾖ ἐν τῇ φύσει. σημείωσαι ὡς πάντα τὰ ὀργανικὰ δύνανται τέμνεσθαι καὶ εἰς ὁμοιομερῆ καὶ εἰς ἀνομοιομερῆ, οἷον φλέβες ἀρτηρίαι μῦες χεῖρες πόδες πρόσωπα· ἀλλ' εἰς ὁμοιομερῆ μέν, ἐὰν, ὡς ἔφην, κατὰ τὸ οἰκεῖον σχῆμα τμηθῇ, εἰς ἀνομοιομερῆ δέ, ἐὰν παρὰ τὸ οἰκεῖον σχῆμα. ὅμως οὖν τῶν τεμνομένων ὀργάνων τὰ μὲν ἔχουσι τὰ οἰκεῖα μέρη ἀποταθένια (sic) συνωνύμως τῷ ὅλῳ λεγόμενα, οἷον ἰὰ ἑαυτῆς μόρια ἡ φλὲψ καὶ ἡ ἀρτηρία, τὰ δ' οὐκ ἔχουσιν. οὐ γὰρ ἡ χεὶρ τὰ ἑαυτῆς τμήματα ἔχει ὀνομαζόμενα χεῖρας. (647, b, 18.) φλέψ ἐστι κοῖλον δοχεῖον αἵματος. σημείωσαι ὡς ἐν τοῖς ἄνω μέρεσι τοῦ ζῴου τὸ λεπτότερόν ἐστιν αἷμα, ἐν δὲ τοῖς κάτω τὸ παχύτερον, καὶ διὰ τοῦτο εὐαίσθητα μὲν τὰ ἄνω μόρια τὰ καὶ ἀσθενέστερα, δυσαίσθητα δὲ τὰ κάτω καὶ γεωδέστερα. ὅθεν καὶ ἐν τοῖς ζῴοις τὰ μὲν παχύαιμα ἰσχυρά, μῶρα δέ· τὰ δὲ λεπτόαιμα ἀσθενῆ. φρόνιμα δὲ διὰ τὸ μόνιμον καὶ στάσιμον τοῦ ψυχροῦ, ἄριστα δ' ἀμφοτέρων καὶ βελτίονα τὰ ἔχοντα τὸ αἷμα ζῷα λεπτὸν καὶ θερμόν. διὰ μὲν τὸ θερμὸν ἰσχυρὰ ὄντα, διὰ δὲ τὸ λεπτὸν φρόνιμα. σημείωσαι ὡς ὃν τρόπον καὶ μᾶλλον εἰπεῖν λόγον ἔχουσι τὰ ἄνω πρὸς τὰ κάτω, ἔχει καὶ τὸ θῆλυ πρὸς τὸ ἄρρεν καὶ τὰ δεξιὰ πρὸς τὰ ἀριστερά, καὶ διὰ τοῦτο εὐκινητότερα καὶ εὔεργα μᾶλλον τῶν ἐναντίων εἰσίν .....[60]) σημείωσαι τὸν Γαληνὸν ἀπὸ τοῦδε τοῦ βιβλίου λαβόντα τὸ τὰς ποιότητας ἀρχὰς εἶναι τῶν φυσικῶν στοιχείων. σημείωσαι τὸν Ἀριστοτέλην λέγοντα μὴ μάτην ἐπιχειρήσαντα εἰπεῖν, ὡς τὰ ἔχοντα καθ' ὑπόθεσιν αἷμα ζῷα θερμότερά ἐσιι τῶν μὴ ἐχόντων, ἢ ὡς τὰ ἔχοντα παχύτερον αἷμα τῶν λεπτότερον ὡς δῆλον ὄνιων τῇ αἰσθήσει. ἀλλὰ διὰ τὸ εἶναί τινας τοὺς λέγοντας εἶναι θερμότερα τὰ ἄναιμα

647, 5. 25. 33. b, 2. 12. 647, b, 18. 19.

58) Vgl. Specimen der Schol. zu Galen in Notices et Extraits des Man. Médicaux v. Daremberg I, 108: τοῦ ὀφθαλμοῦ τὸ μὲν κρυσταλλοειδὲς ὄργανόν ἐστιν ὄψεως, τὰ δὲ ἄλλα τὰ ἐν τῷ ὀφθαλμῷ τὰ μὲν τέγγει τὸ κρυσταλλοειδές, τὰ δὲ περιθάλπει, τὰ δὲ προβέβληται αὐτοῦ κωλύοντα τὰ ἔξωθεν προσπίπτοντα. 59) Vgl. Usener Alex. Aphr. probl. Progr. p. 7, 14. 60) Usener Alex. Aphr. probl. Progr. 10, 11.

τῶν ἐναίμων καὶ τὰ ἐν ὑγροῖς των ἐν ξηροῖς ..... ἐπ᾽ ἐκείνων δεῖ ζητεῖν ἀπο-
618, 17. δείξεις, ἐφ᾽ ὧν ἡ παρὰ τοῖς παλαιοῖς ἀμφισβήτησις γέγονε. σκληρόφθαλμα μὲν ὡς
b, 11 sq. οἱ πάγουροι[61]). σημείωσαι νῦν τὸν Ἀριστοτέλην διοριζόμενον ἑξαχῶς τὸ θερμὸν
εἶτα εἰς τὸ κατὰ συμβεβηκὸς καὶ εἰς τὸ καθ᾽ αὑτὸ τοῦτο ἀνάγοντα. σημείωσαι ὡς
ἄλλο τὸ καθ᾽ αὑτὸ θερμὸν καὶ ἄλλο τὸ κατὰ συμβεβηκὸς καὶ ἄλλο τὸ ἐγγὺς τοῦ
κατὰ συμβεβηκός. καθ᾽ αὑτὸ μὲν λέγεται θερμὸν τὸ ἔμφυτον ἔχον τὴν θερμότητα
καὶ οἰκείαν, οἷον ὡς ὁ μεθ᾽ ὑγείας θερμός. κατὰ συμβεβηκὸς δὲ θερμόν, οἷον ὁ
μετὰ πυρετοῦ θερμός. ἐγγὺς δὲ τοῦ κατὰ συμβεβηκὸς θερμοῦ, οἷον εἰ συμβήη
(συμβαίη) τῷ μετὰ πυρετοῦ θερμῷ καὶ μουσικῷ εἶναι λέγομεν τὸν μουσικόν, εἰ
πυρέττει, ἐγγὺς τοῦ κατὰ συμβεβηκὸς εἶναι θερμόν. κατὰ συμβεβηκὸς γὰρ ἂν
ἐλέγομεν αὐτὸν θερμόν, εἰ ἀλλοτρίαν ἔχων τὴν θερμότητα ἤγουν τὸν πυρετὸν μὴ
καὶ ἕτερον εἶχε συμβεβηκὸς ἤτοι τὸ μουσικὸς εἶναι. διὰ τοῦτο οὖν ἐγγὺς ὁ τοι-
οῦτος τοῦ κατὰ συμβεβηκὸς εἶναι θερμὸς καὶ οὐ κατὰ συμβεβηκὸς λέγεται. σημ-
είωσαι ὅτι τὸ ψυχρὸν φύσις τις ἀλλ᾽ οὐ στέρησις (649, 18) καὶ οἰκείαν τινὰ ἔχον
οὐσίαν, ἀλλ᾽ οὐχ ὥσπερ τὸ σκότος φωτός ἐστι στέρησις καὶ μὴ ἔχον ἰδίαν φύσιν,
649, 15. ἀλλὰ τῇ ἀπουσίᾳ τοῦ φωτὸς γενόμενον[62]). ὡς ἐπὶ τοῦ μύδρου καὶ τοῦ αἵματος
καὶ τοῦ πυρέττοντος μουσικοῦ ἐφαμεν ἀνωτέρω, καὶ ἐπ᾽ αὐτοῦ δὲ τοῦ ζέοντος ὕδα-
τος οὕτως ἔχει. τὸ μὲν ὑποκείμενον αὐτὸ τὸ ὕδωρ οὔτε καθ᾽ ἑαυτὸ οὔτε κατὰ
συμβεβηκός ἐστιν θερμόν, ἀλλ᾽ ἐγγὺς ὡς ἔφαμεν συμβεβηκότος. αὐτὴ μέντοι γε
25. ἡ ζέσις ἡ ἐν τῷ συναμφοτέρῳ θεωρουμένη θερμὴ καθ᾽ αὑτό. καὶ τοσοῦτον θερμά,
ὡς τῆς χελιδόνος φασὶ τὸ ὑπόστημα[63]), εἰ τύχοι ποτὲ ἀνεφγότι τῷ κρυσταλλοειδεῖ
b, 9. τοῦ ὀφθαλμοῦ προσπεσεῖν, ἐκκαίει αὐτὸ καὶ τυφλοῖ. σημείωσαι ὡς τὰ ξηρὰ καὶ
ὑγρὰ εἰ μὲν δυνάμει εἰσὶ καὶ καθ᾽ αὑτὸ τοιάδε, ἴσως ἂν αὐτὰ τὰ ἐκαντία εἴη ἐν-
εργείᾳ καὶ κατὰ συμβεβηκὸς καὶ οὐχ ἅπαν τὸ δυνάμει ὂν τοιόνδε καὶ ἐνεργείᾳ
τοιοῦτον εἴη ἢ τὸ ἐνεργείᾳ καὶ δυνάμει. καὶ γὰρ ὁ κρύσταλλος, ἕως ἂν μένῃ
κρύσταλλος, δυνάμει μὲν ὑγρός, ἐνεργείᾳ δὲ ξηρός, καὶ καθ᾽ αὑτὸ μὲν ὑγρὸς κατὰ
συμβεβηκὸς δὲ ξηρός, ἐνεργείᾳ δὲ καὶ δυνάμει ξηρὸν ἡ γῆ· ὡσαύτως ἐνεργείᾳ καὶ
δυνάμει ὑγρὸν ὕδωρ. τὰ δὲ ἐκ τούτων οὐχ οὕτως, ὥστε ἐκεῖνο ἂν εἴη κυρίως ψυ-
χρὸν ἢ θερμὸν τὸ σὺν τῇ δυνάμει ἔχον τὴν ἐνέργειαν ἐπακολουθοῦσαν. τὰ δὲ
μετὰ τοῦ ἐκπεσεῖν ἔξωθεν τοῦ ἐν ᾧ εἰσι μὴ τὰς αὐτὰς φυλάττοντα ποιότητας καὶ
συστάσεις οὐ καθ᾽ αὑτὸ ἦσαν τοιάδε ἀλλὰ κατὰ πάθος, οἷον τὸ αἷμα ἐν τῷ ζῴῳ
οὐ καθ᾽ αὑτὸ ἦν ὑγρὸν καὶ θερμόν, ἐπεὶ ἐκπεσὸν ψύχεται καὶ ξηραίνεται, ἀλλὰ
κατὰ πάθη[64]). ὡσούτως δὲ καὶ ἡ ξανθὴ[65]) χολὴ θερμὴ καὶ πάχος ἔχουσα, ἐπεὶ
24. μετὰ τὸ ἐκπεσεῖν ψυχρὰ καὶ ῥυτὴ φαίνεται μᾶλλον. ὁ ἰχὼρ δηλαδὴ ψυχρὸς γάρ
ἐσιν. ἰστέον δὲ ὅτι διττὸς ὁ ἰχώρ, αὐτό τε γὰρ τὸ ἄπεπτον τοῦ αἵματος ὑποκεί-
30. μενον λέγεται καὶ τὸ σεσημμένον αἷμα[66]). ἐν μὲν γὰρ τῷ ζῴῳ ὂν θερμόν τε καὶ

---

61) cf. 683, 27. 62) 329, b, 18 fg. Schol. 801, b. 63) ὑπόστημα 653, b, 11; 670, b, 26; 677, b, 8; 679, 18; 708, b, 2; 895, b, 10. ὑπόστασις 647, b, 28; 671, b, 20; 677, 15; 726, 21; 487, b; 551, b, 29; 552, 12; 562, 9; 866, b, 26; 877, b, 37; 895, b, 3; 358, 5, 9. 64) cf Harvey exercit. de gen. anim. Amstelaed. 1662 p. 201. Ar. Meteor. lib. IV init. Excerpta ex Comm. Alex. et Olymp. in Ideler Met. 2, 171. Schol. 791, a; 358, a. 65) in Betreff der Farbe derselben ist zu vgl. die Anm. in Oribas. I, 653. 66) cf. 651, 17. Frantzius p. 272: Levysohn Zool. des Talmud p. 50. adn. Vgl. zu 651, 18. Dietz Schol. in Hipp. et Gal. S. 66.

ὑγρὸν ὑπὸ τῆς ἐμφύτου καὶ φυσικῆς συντηρεῖται θερμότητος καὶ θερμαινόμενον
ῥυτόν τε μένει καὶ ἄπηκτον· ἔξω δὲ τοῦ ζῴου γενόμενον καὶ τῆς φυσικῆς θερμό-
τητος στερηθὲν ξηραίνεταί τε καὶ πήγνυται καὶ ψυχρὸν γίνεται. καὶ ἡ χολὴ ἐνοῦσα
μὲν τῷ ζῴῳ θερμή τε μένει καὶ παχεῖα· ἐκτὸς δὲ γενομένη ψύχεται τῇ τῆς θερ- 34.
μότητος ἀπουσίᾳ καὶ ὑγρὰ γίνεται. οἷον κατὰ τὸ μᾶλλον μετέχειν τὴν χολὴν τῆς
θερμότητος ἢ τὸ αἷμα δεῖ τιθέναι αὐτὴν θερμήν, ὡσαύτως δὲ διὰ τὸ μᾶλλον μετ-
έχειν τὸ αἷμα ὑγρότητος ἐν ζῴῳ ἢ θερμότητος παρ' ὃ ἡ χολή, διὰ τοῦτο ῥηθείη
ἂν ὑγρόν. δεῖται γὰρ θερμότητος τὰ ζῷα καὶ δι' ἄλλην αἰτίαν εἰς τὸ ἀπὸ τόπου εἰς 650, b.
τόπον κινεῖσθαί τε καὶ μεταβάλλειν· ὅσα γὰρ θερμότητος τῆς φυσικῆς ἐστέρηται, ταῦτα
πάντως ἀκινητίζει καὶ κατὰ τόπον μεταβάλλειν οὐδόλως δεδύνηται[67]). τὴν θερμό- 7.
τητα δηλονότι, διάφορον τοῖς ἅπασι μορίοις τοῦ ζῴου τοῖς εἰς τὸ θρέψαι συμβαλ-
λομένοις καὶ πέψαι, διαφόρως ἀπομεμερισμένην. ἔνεστι γὰρ θερμότης τῷ τε οἰσο-
φάγῳ καὶ τῇ κάτω κοιλίᾳ καὶ τῶν σπλάγχνων ἑκάστῳ καὶ τοῖς ἐντέροις καὶ ταῖς
φλεψί, τῷ δὲ στόματι οὐχὶ διὰ τὸ μηδὲ πρὸς πέψιν ἀλλ' ὡς αὐτός φησι μᾶλλον
πρὸς εὐπεψίαν συμβάλλεσθαι[68]). ὅσα γὰρ τῶν ζῴων οὐκ ἀναπνεῖ οὐδὲ οἰσοφάγον 16.

